


# 19 FEBRUARIE
# PARACLISUL
# SF.CUVIOASE-MUCENITE
# FILOTEEA DE LA ATENA

www.tezaurliturgic.ro

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

## ΤΗΣ ΟΣΙΑΣ ΚΑΙ ΜΑΡΤΥΡΟΣ ΜΗΤΡΟΣ ΗΜΩΝ
## ΦΙΛΟΘΕΗΣ
## ΤΗΣ ΑΘΗΝΑΙΑΣ

Ποιηθεὶς ὑπὸ Φιλοθέης μοναχῆς
καὶ ἐγκριθεὶς ὑπὸ τῆς Ἱ. Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος

Ὁ Ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης· Ἀμήν.

Ψαλμὸς ρμβ΄ (142).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου· καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου, ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος· καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διε-

www.tezaurliturgic.ro



πέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα· γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου· ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, ὅτι πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου· τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με· ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

Ὁ Χορός· Ἦχος δ΄.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Τροπάριον. Ἦχος δ΄. (Ὁ ὑψωθείς...).

Τῷ μαρτυρίῳ σου ὁσία στεφθεῖσα,
αἱμάτων ῥείθροις σου σεπτὴ φοινιχθεῖσα,
τῷ Βασιλεῖ παρίστασαι ὡς ἄμωμος ἀμνάς,
καὶ κατατρυφῶσα νῦν οὐρανίων θαλάμων,
ἐφελκύεις ἅπαντας, εἰς ὁμοίους σου ἄθλους,
καὶ μεσιτεύεις νῦν ὑπὲρ ἡμῶν
τῶν ἐκτελούντων τὴν πάντιμον μνήμην σου.

www.tezaurliturgic.ro



Δόξα. Τὸ αὐτό, ἢ τοῦ ναοῦ.

Καὶ νῦν...

Οὐ σιωπήσομεν ποτέ, Θεοτόκε, τὰς δυναστείας σου, λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ψαλμὸς ν΄ (50).

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου· ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ

www.tezaurliturgic.ro



Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Καὶ ἀρχόμεθα τοῦ παρακλητικοῦ κανόνος λέγοντες πρὸ ἑκάστου τροπαρίου τὸν στίχον·

Ὁσία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. (Ὑγρὰν διοδεύσας...).

Δεῦτε ἱκετεύσωμεν οἱ πιστοί,
Φιλοθέην ὁσίαν,
τήν προστάτιν τῶν Ἀθηνῶν,
εἰρήνευσον μῆτερ τὴν ζωὴν ἡμῶν,
ταῖς πρὸς Θεὸν θερμαῖς ἱκεσίαις σου.

Παθῶν ὀλεθρίων τοῦ δυσμενοῦς,
ἀπάλλαξον, Μῆτερ,
τοὺς σοὺς δούλους τοὺς ταπεινούς,
καὶ ρῶσιν ψυχῶν τε καὶ σωμάτων,
ταῖς σαῖς πρεσβείαις τοῖς πᾶσι δώρησαι.

Γενναίῳ φρονήματι, ὦ σεμνή,
ἐδίξαξας πάντας,
τῶν τοῦ βίου καταφρονεῖν,
καὶ τὰς ἐζοφωμένας διανοίας,
ταῖς ἀρεταῖς σου καταύγασον, δέομαι.

Δέσποινα, τὸ σῶμα καὶ τὴν ψυχήν
τὴν ἐσκοτισμένην
τῷ φωτί σου καταπλουτεῖς·
ἐκ παντὸς κινδύνου ρῦσαι πάντας,
τῆς Φιλοθέης ταῖς θείαις δεήσεσι.

www.tezaurliturgic.ro



### Ὠδὴ γ΄. (Οὐρανίας ἁψῖδος...).

Ὡς καλὸν καὶ φιλόθεον,
ὁσιακὸν σέμνωμα,
καὶ μοναζουσῶν ὑπερτέρα,
καὶ ἐνδιαίτημα,
πρὸς τὰ σκηνώματα
τῶν οὐρανῶν μετετέθης,
εἰς ζωὴν τὴν ἄληκτον,
καὶ πανευφρόσυνον.

Μοναστῶν ἐγκαλλώπισμα
καὶ κλέος πανάριστον
δόξα Ἐκκλησίας ὑπάρχεις,
ἀγγέλων σύσκηνος,
σὺ γὰρ ἐλάμπρυνας
τῶν Ἀθηναίων τὴν πόλιν,
τῷ μαρτυρικῷ σου
στέφει, ἀξιάγαστε.

Ἀνεδείχθης τοῦ Πνεύματος
περικαλλὲς σκήνωμα·
σὲ κατοικητήριον ἔσχε,
ἡ Παναγία Τριάς·
διὸ καὶ ἤθλησας,
καὶ τῶν τερπνῶν ἠξιώθης,
νῦν ἀγαλλομένη
εἰς τὰ οὐράνια.

Τοὺς ἐν θλίψεσιν ὄντας
διάσωσον, Δέσποινα,
καὶ τοὺς πειρασμοῖς κλονουμένους
πάντας ἀπάλλαξον,
ταῖς ἱκεσίαις σου

www.tezaurliturgic.ro



καὶ μεσιτείαις, Παρθένε,
ὡς ἁγνὴ ὑπάρχουσα
Θεομακάριστε.

Διάσωσον ὁσιομάρτυς,
σοὺς δούλους, καὶ περιφρούρει,
ἀπὸ λύπης καὶ συμφορῶν·
εἰς σὲ καταφεύγομεν,
ὡς ἔχουσαν ἐκτενῆ παρρησίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ,
πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν
τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Ὁ Ἱερεύς· Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον.

Ὁ χορὸς εἰς ἑκάστην δέησιν· Κύριε ἐλέησον (τρίς).

Ὁ Ἱερεύς· Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (...) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει (ἢ χώρᾳ ἢ νήσῳ) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν, ἀφιερωτῶν, ἀνακαινιστῶν καὶ εὐλαβῶν προσκυνητῶν τῆς ἁγίας Ἐκκλησίας ταύτης.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ (μνημονεύει τὰ ὀνόματα ὑπὲρ ὧν ἡ παράκλησις τελεῖται), ὑγείας, βοηθείας, καὶ σωτηρίας ὑπὲρ αὐτῶν εἴπωμεν.

Ἐκφώνησις.

www.tezaurliturgic.ro



Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Κάθισμα. Ἦχος β΄. (Πρεσβεία...).

Πεινώντων τροφὸς
ἐδείχθης πανόλβιε·
τὸν πλοῦτον, σοφή,
ἐσκόρπισας, ἔδωκας,
ἀσκητικῶς βιώσασα·
Φιλοθέη ἔνδοξε, πλούτισον
καὶ ἐκ πενίας λύτρωσαι ἡμᾶς,
καὶ σῶσον, ταχέως μεσιτεύουσα.

Ὠδὴ δ΄. (Εἰσακήκοα Κύριε...).

Ὀρφανῶν πάντων γέγονας
μήτηρ καὶ τροφὸς καὶ καταφύγιον,
καὶ πρὸς ὅρμον καθωδήγησας,
τοὺς εἰς σὲ προστρέχοντας, πανεύφημε.

Θεραπεία νοσούντων
ἐδείχθης καὶ λιμὴν πάντων εὔδιος,
καὶ τυράννους σὺ κατήσχυνας,
ἀνδρικῷ νευρουμένη φρονήματι.

Ἐξ ἐχθρῶν τῶν μισούντων
τὴν σὴν πόλιν φύλαττε ἀπαράτρωτον,
καὶ ἀνάδειξον πανίσχυρον,
Φιλοθέη μάρτυς τρισμακάριε.

Σὲ λιμένα καὶ τεῖχος,
καὶ καταφυγὴν ἀρραγῆ κεκτήμεθα,

τὰς ψυχὰς ἡμῶν εἰρήνευσον,
καὶ παθῶν δεινῶν ἡμᾶς ἀπάλλαξον.

Ὠδὴ ε΄. (Φώτισον ἡμᾶς...).

Φώτισον ἡμῶν
τὰς καρδίας καὶ ἐνίσχυσον,
τὴν σὴν βοήθειαν διδοῦσα σεμνή,
χαριτόβρυτε, πηγὴ πανευφρόσυνε.

Λάμπρυνον τὸν νοῦν
μοναστῶν σου καὶ ἐγκαίνισον,
τῇ πρὸς Θεὸν θερμῇ μεσιτείᾳ σου,
σὺ γὰρ ὑπάρχεις συμπαθὴς καὶ εὐίλατος.

Ὁδήγησον, ἁγνή,
εἰς λιμένα εὐσπλαγχνίας σου
τὰς ψυχὰς ἡμῶν, καὶ περιφρούρησον,
καὶ τὴν ὑγείαν τοῖς νοσοῦσι δώρησαι.

Ὠδὴ στ΄. (Τὴν δέησιν ἐκχεῶ...).

Τῶν κάτω κατεφρόνησας καὶ ὕψωσας
εὐατὴν πτερώσασα πρὸς ἄνω,
καὶ τῶν πληγῶν ἀφελοῦσα τὸ κέντρον,
τὰ λυπηρὰ εἰς δόξαν μετήλλαξας,
καὶ ᾄδεις νῦν ἐν οὐρανοῖς,
τὸν ποθούμενον πάντοτε βλέπουσα.

Ἀντίληψις τῶν ἐν λύπαις πάνσεμνε,
καὶ ἀδικουμένων ὤφθης προστάτις,
τῶν πρὸς τὴν σὴν προστρεχόντων πρεσβείαν,
ἀρυομένων γλυκεῖάν σου μέθεξιν,
καὶ πάντων τῶν ἐν συμφοραῖς,
συμπαθὴς καὶ βεβαία ὀχύρωσις.

www.tezaurliturgic.ro



Φρουρόν σε, καὶ θερμὸν προπύργιον,
τῶν Ἀθηναίων εὗρε σε ἡ πόλις·
τοῖς σοῖς λειψάνοις προστρέχει τοῖς θείοις,
καὶ δαψιλῶς λαμβάνει τὰς χάριτας,
διάσωσον ἐκ τῶν δεινῶν·
Φιλοθέη μαρτύρων ἀγλάϊσμα.

Λιμένα σε, Παναγία, ἔχομεν,
καὶ μεσίτριαν καὶ σκέπην, καὶ τεῖχος·
τῶν ἐναντίων ἐνέδρας συνθλάζεις,
καὶ τὰς καρδίας κουφίζεις, Πανάχραντε,
καὶ διασώζεις ἅπαντας δεινῶν,
Φιλοθέης ταῖς θείαις δεήσεσι.

Ἀπάλλαξον, ἀπὸ θλίψεων,
τοὺς ἱκέτας σου, Φιλοθέη·
καὶ πρέσβευε ὑπὲρ ἡμῶν
πρὸς Χριστὸν τὸν Φιλάνθρωπον,
ὡς ἔχουσα πρὸς Θεὸν παρρησίαν.

Ἄχραντε ἡ διὰ λόγου
τὸν Λόγον ἀνερμηνεύτως
ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν
τεκοῦσα δυσώπησον,
ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Ὁ ἱερεὺς μνημονεύει ὡς δεδήλωται (σελ. .60).

## ΚΟΝΤΑΚΙΟΝ

### Ἦχος β΄.

Ἀγάπης πηγὴ ἐδείχθης ἀκένωτος,
Φιλοθέη σεμνή, αἰχμαλώτων ἡ λύτρωσις,
ἱκετεύουσα μὴ παύσῃ ὑπὲρ σῶν ἱκετῶν,

www.tezaurliturgic.ro



ἀλλὰ ἴθυνον ὡς ἀγαθή,
καὶ πρὸς λιμένα γαληνόν,
τοὺς εὐλαβῶς προσκυνοῦντάς σε.
Λύτρωσαι τῶν κινδύνων,
καὶ σῶσον ἐκ τῶν μισούντων,
ἡ τῶν μαρτύρων καλλονή,
καὶ τῶν ἀγγέλων ὁμόσκηνε.

Προκείμενον.

Ὑπομένω ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

Στίχ. Ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.

## ΕΥΑΓΓΕΛΙΟΝ

Κατὰ Ματθαῖον (ι΄ 16-20).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων. Γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων, παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς. Καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. Ὅταν δὲ παραδιδῶσιν ὑμᾶς, μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσετε· δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί λαλήσετε· οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν.

Δόξα...

Ταῖς τῆς ἀθληφόρου...

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου...

Ἐλεῆμον ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

www.tezaurliturgic.ro



Προσόμοιον.

Ἦχος πλ. β΄. (Ὅλην ἀποθέμενοι...).

Ὅλη ἀπαστράψασα,
τῇ τῆς ψυχῆς φωταυγείᾳ,
Φιλοθέη πάντιμε,
σκεῦος ὡραιότατον, καὶ μυρίπνοον,
ὄρος γὰρ κατάσκιον·
ἐξυμνεῖν οὐ δύναμαι
τὰ πολλά σου κατορθώματα,
καὶ οὓς ὑπέμεινας ὑπὲρ τῆς Χριστοῦ ἀγαπήσεως,
πόνους τῆς ἀσκήσεως
καὶ τοῦ μαρτυρίου τὴν ἄθλησιν.
μήτηρ σὺ παρθένων,
τροφὸς τῶν ὀρφανῶν καὶ τῶν χηρῶν,
ἐν τῷ χειμῶνι ἐξήνθησας,
ἄνθος εὐωδέστατον.

Ὁ ἱερεύς·

Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ᾽ ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων, ἐπουρανίων δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου προφήτου, προδρόμου, καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων· τῶν ἐν ἁγίοις πατέρων ἡμῶν, μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου ἐπισκόπου Μύρων τῆς Λυκίας καὶ Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, τῶν

www.tezaurliturgic.ro



θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρου τοῦ Τήρωνος καὶ Θεοδώρου τοῦ Στρατηλάτου, τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· (τοῦ ἁγίου τοῦ Ναοῦ, ἐφ᾽ ὅσον δὲν ἐμνημονεύθη ἐν τοῖς ἄνω)· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· (τοῦ ἁγίου τῆς ἡμέρας, ἐὰν ἑορτάζηται) τῆς ἁγίας καὶ ἐνδόξου ὁσιομάρτυρος Φιλοθέης τῆς Ἀθηναίας καὶ πάντων σου τῶν ἁγίων. Ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε· ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου, καὶ ἐλέησον ἡμᾶς.

Ὁ ἱερεύς· Ἐλέει καὶ οἰκτιρμοῖς...

Καὶ ἀποπληροῦμεν τὰς λοιπὰς ᾠδὰς τοῦ κανόνος.

Ὠδὴ ζ΄. (Τὴν ἡμῶν σωτηρίαν...).

Τὴν λαμπράν σου πορείαν
ἐν τῷ βίῳ τούτῳ
ἐγκωμιάζομεν,
ἐν μέσαις ταῖς Ἀθήναις,
ἐβλάστησας ὡς ῥόδον,
καὶ τὸ Ἄστυ ἐκόσμησας,
ταῖς ἡδυπνόοις ὀσμαῖς,
τῶν σεπτῶν σου λειψάνων.

Τὴν πηγὴν τοῦ ἐλέους,
διὰ πρεσβειῶν σου,
τοῖς πᾶσι ἄνοιξον·
κρουνοὺς χαρίτων βρύεις,
καὶ νόσους θεραπεύεις,
καὶ ἐχθρῶν λύεις τὰς φάλαγγας,
ἵνα τιμῶμεν ἀεὶ
τὰ θεῖα λείψανά σου.

Θησαυρὸς εὐσεβείας,
καὶ πηγὴ εὐσπλαγχνίας,
ὤφθης τοῖς πάσχουσι,
καὶ τοῖς διωκομένοις,
προπύργιον καὶ σκέπη,
ἀντιλήπτωρ καὶ πρόμαχος,
ὦ Φιλοθέη σοφή,
μαρτύρων ὡραιότης.

Ἡ μεσίτρια πάντων
τῶν δεινῶς πεπτωκότων,
σὺ μῆτερ γέγονας,
καὶ τῶν πολεμουμένων
ἀσπὶς καὶ προστασία,
Παρθένε καὶ λύτρωσις,
ἡ καταυγάζουσα ἀεὶ
πιστῶν τὰς διανοίας.

Ὠδὴ η΄. (Τοὺς βοηθείας...).

Τῆς ἀμαθείας τὰ ἐρέβη
διαλύεις,
φῶς Χριστοῦ διαχέουσα πᾶσι,
καὶ καταφαιδρύνεις
ἡμῶν τὰς διανοίας.

Τῶν κακοδόξων τὰς ἐνέδρας
ἀφανίζεις,
καὶ πλοκὰς κακοβούλους συντρίβεις·
ὅθεν σὲ γεγαίρει
Ἀθηναίων ἡ πόλις.

Ὁμολογίαν τὴν σεμνὴν
τοῦ Χριστοῦ σου

ἀνδρικῷ τῷ φρονήματι δίδως,
καὶ καταπαλαίεις
ἀλλοπίστων τὰ θράση.

Τῆς τοῦ Υἱοῦ σου θερμουργοῦ
προστασίας,
τοὺς πιστῶς προστρέχοντας Παρθένε,
καὶ ἐπιζητοῦντας,
ἀξίωσον ἐν τάχει.

Ὠδὴ θ΄. (Ροήν μου τῶν δακρύων...).

Κρουνούς μου τῶν δακρύων
βλέψον Φιλοθέη
καὶ σπεῦσον, καὶ βοηθὸς
γενοῦ μοι σοῦ δέομαι,
τῶν λυπηρῶν τὰς αἰτίας
κατασυντρίβουσα.

Καρδίαν μου καὶ χείλη
κάθαρον, θερμαῖς σου
πρεσβείαις, καὶ τῆς ψυχῆς
τὸν ζόφον διάλυσον,
ἐν παρρησίᾳ πολλῇ, ἣν
ἔχεις πρὸς Κύριον.

Ἐν ὥρᾳ τοῦ κινδύνου,
τοῦ ὄφεως κακίστας
λῦσον, σεμνή, φοβερὰς
καὶ δεινὰς ἀπειλάς,
καὶ τῶν ψυχῶν ἡμῶν μακράν,
ταύτας ἀπέλασον.

Τοὺς πόνους καὶ τὰς θλίψεις
ἐκδίωξον ἐν τάχει,

www.tezaurliturgic.ro



καὶ τῶν ψυχῶν τὴν εἰρήνην,
Παρθένε ἁγνή,
τῆς Φιλοθέης πρεσβείαις,
τοῖς πᾶσι δώρησαι.

## ΜΕΓΑΛΥΝΑΡΙΑ.

Χαίροις Ἀθηναίων ὁ θησαυρός,
Φιλοθέη μάρτυς,
τῶν ὁσίων ἡ καλλονή,
καύχημα Ἑλλάδος,
καὶ ὀρθοδόξων κλέος,
μετὰ σπουδῆς ἀξίως,
πάντες ὑμνοῦμέν σε.

Ἀηδὼν γλυκύτατε καὶ σεμνή,
μετὰ παρρησίας
ἡ κηρύξασα τὸν Χριστόν,
καὶ ἀξιωθεῖσα
μαρτυρικοῦ στεφάνου,
καὶ δόξης αἰωνίου,
σὲ νῦν γεραίρομεν.

Ἔλαμψας τῷ ὕψει τῶν ἀρετῶν,
καταφλεγομένη
ὑπὸ θείου ὄντως πυρός·
τοῦ Πνεύματος σκεῦος
ἐδείχθης, Φιλοθέη,
καὶ τὰς καρδίας πάντων
ἡμῶν ἐστήριξας.

Ἀλάβαστρον μύρου ὁσιακοῦ,
ἐκχέεις πλουσίως,
εὐωδίαν τε εἰς ψυχάς,

www.tezaurliturgic.ro



τῶν μετ᾽ εὐλαβείας
καὶ πόθου προσιόντων
τοῖς θείοις σου λειψάνοις,
ὦ παναοίδιμε.

Στεναγμοὺς καὶ δάκρυα καὶ δεινά,
τῶν τῆς ἁμαρτίας
ἀποδίωξον ἀφ᾽ ἡμῶν,
καὶ σκέπε τῇ στοργῇ σου
τῶν Ἀθηνῶν τὴν πόλιν,
τὸν Κτίστην δυσωποῦσα
θείαις πρεσβείαις σου.

Ἕτερα Μεγαλυνάρια ποιηθέντα ὑπὸ τοῦ Σεβ. Μητροπολίτου Σερβίων καὶ Κοζάνης κυροῦ Διονυσίου, ἵνα ψάλλωνται ἐν τῷ Ἱερῷ Ναῷ τῆς Ἁγίας Φιλοθέης τοῦ ὁμωνύμου προαστίου τῶν Ἀθηνῶν κατὰ τὴν ἡμέραν τῆς ἑορτῆς τῆς ἁγίας.

Δεῦτε εὐφρανθῶμεν πνευματικῶς
ἐν ψαλμοῖς καὶ ὕμνοις μελῳδοῦντες χαρμονικῶς
μνήμην τῆς ἁγίας τελοῦντες Φιλοθέης
καὶ τὸν Χριστὸν ἐν πᾶσι πιστῶς δοξάζοντες.

Τῷ σεπτῷ καὶ θείῳ τούτῳ ναῷ
ἐν τῷ φερωνύμῳ προαστίῳ τῶν Ἀθηνῶν,
πίστει συνελθόντες, γεραίρομεν τὴν μνήμην
Φιλοθέης Χριστοῦ τῆς ὁσιομάρτυρος.

Χαίροις, Φιλοθέη, τῶν Ἀθηνῶν
γέννημα καὶ θρέμμα καὶ προστάτις πάντων ἡμῶν
τῶν ἐν ἀληθείᾳ τιμώντων σε, Ὁσία
καὶ ἐπικαλουμένων τὴν σὴν ἀντίληψιν.

Χαίροις, Φιλοθέη, ἐν γυναιξὶν
ἡ τετιμημένη, τοὺς τιμῶντας μνήμην τὴν σὴν

www.tezaurliturgic.ro



φύλαττε καὶ σκέπε ἀπὸ παντὸς κινδύνου,
εὐχαῖς καὶ ἱκεσίαις σου πρὸς τὸν Κύριον.

Ἱκευτεύομέν σε μετὰ θερμῆς
καρδίας, Ὁσία, καὶ φρονήσεως ἀγαθῆς,
δέξαι τὴν παράκλησιν τῶν πρὸς σὲ βοώντων
καὶ ταύτην τῷ Σωτῆρι Χριστῷ προσάγαγε.

Τὴν ὁσιομάρτυρα τοῦ Χριστοῦ
θείαν Φιλοθέην ἱκετεύσωμεν οἱ πιστοί,
ἧς ταῖς ἱκεσίαις ἵνα παντὸς ῥυσθῶμεν
κινδύνου ἐν τῷ βίῳ καὶ πάσης θλίψεως.

Ὄντως θαυμαστὸς ὁ Θεὸς ἡμῶν
διὰ τῶν ἁγίων ἡμᾶς πάντας εὐεργετῶν
καὶ τὴν Φιλοθέην προστάτιν ἀναδείξας
ἡμῶν, ἣν καὶ τιμῶντες, τοῦτον δοξάζομεν.

---

Εἶτα· Τρισάγιον· Παναγία Τριάς· Πάτερ ἡμῶν.

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν...

Μεθ᾽ ὃ μνημονεύει πάλιν τῶν πιστῶν, ὑπὲρ ὧν ἡ παράκλησις γίνεται καὶ ποιεῖ τὴν Ἀπόλυσιν.

Μετ᾽ αὐτὴν δέ, ἐν ὅσῳ οἱ πιστοὶ προσκυνοῦσιν τὰ ἱερὰ λείψανα τῆς Ἁγίας, ψάλλονται τὰ παρόντα τροπάρια.

Προσόμοια.

Ἦχος β΄. (Ὅτε ἐκ τοῦ ξύλου...).

Ὥσπερ ἡ καλλίστη χελιδών,
ἐν τυραννικῷ σκότει ἐφάνης,
προαναγγέλλουσα
ἔαρ τὸ γλυκύτατον,

www.tezaurliturgic.ro



διὰ τὸ γένος ἡμῶν,
καὶ κηρύττουσα πίστιν,
ἀγάπην, θυσίαν,
ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ,
ἔθηκας τὸ σῶμά σου σφάγιον ἄμωμον,
οὕτω δὲ τὸ φυτὸν εὐσεβείας,
ἐν πολυωδύνῳ πατρίδι,
ἀρδευθὲν τῷ αἵματί σου ηὔξησεν.

Ὥσπερ ὁ ἀστὴρ αὐγερινός
σκότη τὰ πυκνά ἐξαλείφει,
καὶ διαχέει τὸ φῶς,
οὕτω σὺ διέλαμψας,
καταφωτίζουσα
σκοτεινὰς διανοίας
τῶν χειμαζομένων ἐκ δολερᾶς ἀπειλῆς·
μῆτερ Φιλοθέη ὁσία,
ῥῦσαι καὶ ἡμᾶς τῶν κινδύνων,
τῇ θερμῇ πρὸς Κύριον πρεσβείᾳ σου.

Ὁ ἱερεύς·

Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς· ἀμήν.